# TEZAUR LITURGIC

## 29 MAI
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# SLUJBA
# SF.DIACON-MUCENIC
# CHIRIL
# DE LA FINICHI

RHODOS,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 Μαΐου

# Ἀκολουθία Μάρτυρος

# ΚΥΡΙΛΛΟΥ τοῦ Διακόνου

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Φιλομαρτύρων οἱ δῆμοι, δεῦτε συνδράμωμεν, καὶ ἐν ἐπινικίοις, ἐκτελέσωμεν ὕμνοις, Κυρίλλου Διακόνου τοῦ εὐκλεοῦς, τὴν λαμπρὰν μνήμην κράζοντες· Μάρτυς Κυρίου ἱκέτευε τὸν Θεόν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὡς τοῦ Χριστοῦ μυστηρίων, θεῖος Διάκονος, ὑπερκοσμίῳ ζήλῳ, τῶν ματαίων εἰδώλων, σεβάσματα καθεῖλες τὰ ἐναγῆ, παμμακάριστε Κύριλλε, καὶ μαρτυρίας τοῖς ἄθλοις τὸν ἀσεβῆ, Παραβάτην κατετρόπωσας.

Ἀῤῥαγεστάτῃ ἐλπίδι, τῶν ὑπὲρ νοῦν ἀγαθῶν, ἐνισχυθεὶς τὰς φρένας, τῷ τυράννῳ ἀντέστης, καὶ ἔφλεξας εἰς τέλος εἰδωλικῆς, δυσφημίας τὴν ἄκανθαν, μαρτυρικῶν σου αἱμάτων θείῳ πυρί, Μάρτυς Κύριλλε σεβάσμιε.

Κατατολμήσας βασάνων, Κύριλλε ἔνδοξε, διὰ χειρῶν ἀνόμων, ἀνηνέχθης θυσία, εὐάρεστος, τιμία τῷ Λυτρωτῇ, τῷ λαμπρῶς σε δοξάσαντι, καὶ διὰ σοῦ χορηγοῦντι Μάρτυς ἡμῖν, ἱλασμὸν καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Πάλιν ἡμῖν, ἡ χαρμόσυνος μνήμη, τοῦ φωστῆρος τῆς εὐσεβείας ἀνέτειλε, Κυρίλλου τοῦ παμμάκαρος, τῶν εὐσεβῶν τὰς ψυχὰς καταυγάζουσα, χάριτος μαρτυρικῆς φωτοχυσίᾳ· διὸ τὸν αὐτὸν θαυμαστώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, δοξολογήσωμεν κραυγάζοντες· Δόξα Σοι Ζωοδότα Κύριε, ὁ τὸν ζηλωτήν Σου Διάκονον, μιμητὴν τῶν παθημάτων Σου ἀναδείξας, καὶ δι᾽ αὐτοῦ παρέχων ἡμῖν, πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β’. Οἶκος τοῦ Ἐφραθᾶ.

Τόλμης μαρτυρικῆς, τῷ ὕψει διαπρέψας, Κύριλλε θεομάκαρ, εἰδώλων τῆς λατρείας, ὑψώματα κατέβαλες.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Πίστεως εὐσεβοῦς, ὦ Κύριλλε δυνάμει, τῷ μαρτυρίῳ μέγας, ἐδείχθης καὶ μεγίστης, εὐκλείας κατηξίωσαι.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Τέμενος εὐαγές, ἔμψυχος θεῖος οἶκος, τοῦ Πνεύματος ὑπάρχων, ναοὺς εἰδώλων πλάνης, καθεῖλες Μάρτυς Κύριλλε.

Δόξα. Τριαδικόν.

Ἄναρχε Βασιλεῦ, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ἡ ἄναρχος Θεότης, Κυρίλλου ταῖς πρεσβείαις, δὸς πᾶσι τὰ ἐλέη Σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Ἀγαθή, Πανύμνητε Μαρία, τοῖς μητρικοῖς Σου σπλάγχνοις, ἀντίληψις γενοῦ μοι, ἐν βίου περιστάσεσι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος δ’. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Εὐσεβῶν τὰ συστήματα, ἑορτάσωμεν σήμερον, καὶ ᾀσμάτων ἄνθεσι καταστέψωμεν, τὸν ἱερώτατον Κύριλλον, Χριστοῦ τοῦ Παντάνακτος, τὸν γενναῖον

Ἀθλητήν, Διακόνων τὸ καύχημα, τὸν αἰσχύναντα, Παραβάτου τὴν ἄλογον μανίαν, καὶ τροπώσαντα τοῦ σκότους, μαρτυρικῶς τὴν παράταξιν.

Ἀληθείας τὴν ἔλλαμψιν, ἐν καρδίᾳ δεξάμενος, ὡς δοχεῖον ἔμψυχον καθαρότητος, θεομακάριστε Κύριλλε, εἰδώλων διέλυσας, τὴν ψυχόλεθρον ἀχλύν, καὶ Μαρτύρων τὸ στάδιον, ἐξετέλεσας· διὰ τοῦτο Χριστὸς ἐδόξασέ σε, ὁ πρεσβείαις σου παρέχων, τὸν ἱλασμὸν τοῖς τιμῶσί σε.

Ζηλωτὴς ὡς οὐράνιος, εὐσεβείας καὶ πίστεως, Ἀθλοφόρε Κύριλλε παμμακάριστε, τὰ τῶν εἰδώλων συνέτριψας, ἀναίσθητα ξόανα, ἐκδιδάσκων πρακτικῶς, τοὺς ἀνθρώπους ἀπέχεσθαι, τούτων ἔνδοξε, καὶ προσφέρειν λατρείαν τῷ Κυρίῳ, τῷ Σταυρῷ ἀνυψωθέντι, καὶ ἀφθαρσίαν πηγάσαντι.

Παραβάτου κατήσχυνας, τῇ γενναίᾳ ἐνστάσει σου, θεομάκαρ Κύριλλε τὴν αὐθάδειαν· Δημιουργὸν γὰρ καὶ Κύριον, κηρύξας μακάριε, τὸν παθόντα δι᾽ ἡμᾶς, προσωμίλησας μάστιξι, καὶ ἐνήθλησας, τῆς σεπτῆς σου γαστρός διαῤῥαγείσης· διὰ τοῦτό σε τιμῶμεν, ἐπιτελοῦντες τὴν μνήμην σου.

Μισοθέων οὐκ ἔπτηξας, τὸν θυμὸν καὶ τὴν ἔπαρσιν, ὡς ἀνδρείας ἔμπλεως Μάρτυς Κύριλλε, καὶ πρὸ ἀδίκων κρινόμενος, βημάτων ὁ δίκαιος, οὐκ ἠρνήσω τοῦ Χριστοῦ, τὸ γλυκύτατον ὄνομα, ἀλλ᾽ ἐχώρησας, δοκιμὴν πρὸς βασάνων στεῤῥοψύχως, ἀνθ᾽ ὧν εὗρες ἐν ὑψίστοις, τὴν αἰωνίαν ἀπόλαυσιν.

Ἀλγηδόσι κυκλούμενος, καὶ βασάνοις βαλόμενος, Κύριλλε Διάκονε ἱερώτατε, ἀπαρασάλευτος ἔμεινας, τὸν νοῦν διὰ πίστεως, καὶ ἐνήθλησας στεῤῥῶς, ἐκχυθέντων τῶν σπλάγχνων σου. Ὅθεν πέφηνας, μιμητὴς τοῦ Στεφάνου στεφηφόρος, τοῦ Χριστοῦ ἐν Διακόνοις, πανευκλεοῦς Πρωτομάρτυρος.

Δόξα. Ἦχος πλ. α'.

Τὸν ἐν Διακόνοις Μάρτυρα, Κύριλλον τὸν ἀήττητον, τὸν ἐν Φοινίκῃ στεῤῥῶς ἀνδραγαθήσαντα, σήμερον ἐν τῇ μνήμῃ αὐτοῦ, οἱ εὐσεβεῖς συνελθόντες, τιμήσωμεν κράζοντες· χαίροις ὁ μαρτυρίου λαμπρότησι, πολυθεΐας σκοτίαν διαλύσας, καὶ ἱερῶς ἐκδημήσας πρὸς τὸ φῶς, ἀλήκτου δόξης τὸ ἀνέσπερον· χαίροις ὁ ἐκχύσει τῶν σπλάγχνων σου, ἀσεβείας ἐπάρσεις ταπεινώσας, καὶ ἐν ὑψίστοις διὰ βασάνων πικρῶν, τρυφὴν ἀγήρω εὑράμενος· χαίροις ὁ γεωργίᾳ τοῦ Πνεύματος, βλαστὸς εὐσεβείας φυείς, τὴν εὐκαρπίαν ἐν ἄθλοις προβαλλόμενος. Ἀλλὰ πρέσβευε δεόμεθα Χριστῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ὑμνούντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης, εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος· ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν

ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ.μγ’,9-14)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ’, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ.

Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα(Κεφ.ε’,15-στ’,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ

σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ηχος α’.

Δεῦτε ἐπαινέσωμεν πιστοί, Κύριλλον τὸν ἔνδοξον, Διακόνων τὸ καύχημα, καὶ Ἀθλοφόρων τὸ ἀγλάϊσμα. Οὗτος γὰρ ὡς πίστεως ζηλωτής, εἰδώλων κατασυντρίψας τὰ ξόανα, βασάνοις ἀνυποίστοις προσωμίλησε, καὶ ὡς ἄσαρκος ἐνήθλησε, γαστρὸς ὑπομείνας τὴν διάῤῥηξιν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· ὁ ὑπὲρ Χριστοῦ ἀθλήσας καὶ πρὸς ζωὴν ἐκδημήσας, Μάρτυς ἐν Λευΐταις θεοδόξαστε, πρέσβευε τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β’.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐπὶ τῇ μνήμῃ τοῦ Ἀθλοφόρου, φιλομάρτυρες σήμερον. Δεῦτε μακαρίσωμεν αὐτόν, ἐν ἐγκωμίοις κράζοντες καὶ λέγοντες· χαίροις μακάριε Κύριλλε, ὁ ἐν ἔργοις

διακονίας διαπρέψας, καὶ διὰ πόνων μαρτυρίου διαλύσας, ὑπεναντίων τὴν παράταξιν· ὁ μυηθεὶς Χριστοῦ τὰ παθήματα, καὶ δι᾽ Αὐτὸν ὑπομείνας, τῶν σπλάγχνων σου τὴν ἔκχυσιν. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πολλήν, μὴ παύσῃ δεόμεθα πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τὸ θαυμαστὸν ἐξεικόνισμα, τῆς καρτερίας οἱ πιστοί, ἐν εὐλαβείᾳ ὑμνήσωμεν, Κύριλλον τὸν στεῤῥόψυχον Μάρτυρα, ὃν ὡς ἐνθέου ζήλου πνέοντα, οἱ δυσσεβεῖς βασάνοις παρέδωκαν, θανάτῳ βιαίῳ κατεδίκασαν, καὶ Μάρτυρα θεοτίμητον ἀνέδειξαν, Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ παρέχοντος πρεσβείαις αὐτοῦ, τὴν εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β'.

Καρτεροψύχως τελέσας τὸ ἀθλητικὸν στάδιον, εἰς ζωῆς τοὺς θαλάμους κατέπαυσας· εἰδώλων τὴν ἀπάτην καταισχύνας, ἐν ἄθλοις σου εὐσεβείας, κῆρυξ ἐγένου διαπρύσιος· ἐν σοὶ δὲ ἀνδρείως ἐξεικονίσας, Κυρίου πάθος τὸ σωτήριον, Ἀναστάσεως τὴν χάριν ἐκληρώσω, Κύριλλε ἐν Διακόνοις, Μάρτυς ἀκατάπληκτε. Ἀλλ᾽ ὡς τῷ θρόνῳ τῆς θεότητος παριστάμενος, καὶ τῇ ἀκτίστῳ φωτοχυσίᾳ λαμπόμενος, ἐπικάμφθητι δεόμεθα, ταῖς ἱκεσίαις τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, Σὲ ἱκετεύομεν,

πρέσβευε Δέσποινα, μετὰ τοῦ ᾿Αθλοφόρου καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τόν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε γηθοσύνως ἀδελφοί, σήμερον ὁμοῦ συνδραμόντες, τὸν ἀθλοφόρον Χριστοῦ, Κύριλλον τὸν ἔνδοξον, ἀνευφημήσωμεν, ὅτι ἅπαν τὸ φρόνημα, Θεῷ ὑποτάξας, πλάνης ἐτροπώσατο, εἰδώλων ἔπαρσιν, ᾔσχυνε θεοὺς ψευδωνύμους, ἔθραυσε τυράννων ἀθέων, τὴν ἐπαιρομένην ματαιότητα.

Στ. *Θαυμαστός ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ἔχων τὸ Πανάγιον ἐν σοί, Πνεῦμα ἐνοικοῦν θεομάκαρ, ὡς καθαρὸς τῇ ψυχῇ, ζήλῳ τῷ τῆς πίστεως, εἰδώλων ξόανα, κατελέπτυνας Κύριλλε, καὶ τὸν Παραβάτην, τῇ ὁμολογίᾳ σου, ὡς ἄνουν ἤλεγξας. Ὅθεν ὑπομείνας βασάνους, σπλάγχνων σου σεπτῶν τῇ ἐκχύσει, πρὸς ζωῆς θαλάμους ἐξεδήμησας.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίρων ταῖς ἐλπίσι τῆς ζωῆς, πάσης κατεφρόνησας Μάρτυς, διαπιπτούσης τρυφῆς, καὶ ὥσπερ Διάκονος, πανιερώτατος, τῷ Θεῷ διηκόνησας, ταῖς ἀνδραγαθίαις, Κύριλλε πολύαθλε, τοῦ μαρτυρίου σου. Ὅθεν ἐν Ἐδέμ ἐδοξάσθης, χάριν τοῖς πιστοῖς πρυτανεύων, θείαις σου πρεσβείαις θεοδώρητον.

Δόξα. Ἦχος πλ. β’.

Μάρτυς τρισόλβιε Κύριλλε, βωμοὺς δαιμόνων καὶ ξόανα, κατεδαφίσας ζήλῳ τῆς πίστεως, καὶ φαύλην εἰδώλων πλάνην, εὐσεβείας ῥώμῃ μειώσας, οὐρανίου παρατάξεως, στρατιώτης ἐφάνης ἀήττητος, καὶ δικαιοσύνης στεφάνῳ, ἐν δόξῃ θεόθεν ἐστεφανώθης. Διὸ σήμερον εὐσεβῶς, ἐν τῇ μνήμῃ σου συνελθόντες, τὰ τρόπαιά σου κηρύττομεν, καὶ πρέσβυν σε Κυρίῳ προσάγομεν, τῷ παρέχοντι διὰ σοῦ, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς Σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό Σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς Χριστοῦ μυστηρίων, θεοφόρος Διάκονος, τῆς εἰδωλικῆς ἀσεβείας, τὰ μυθεύματα ἤλεγξας, καὶ ἤθλησας ὦ Κύριλλε στεῤῥῶς, γαστρός σου τὴν τομὴν ὑπενεγκών· διὰ τοῦτο τῶν Μαρτύρων οἱ ἐρασταί, ἐν πίστει ἐκβοῶμέν σοι· δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ μεγαλύναντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, ῥύστην ἐν θλίψεσι.

Ἕτερον. Ἦχος γ’. Θείας πίστεως.

Ζῆλον ἔνθεον, τῆς εὐσεβείας, εἰσδεξάμενος, ἐν τῇ καρδίᾳ, τῶν εἰδώλων τὰ ξόανα ἔθραυσας, καὶ μαρτυρίου τὸν δρόμον ἐτέλεσας, καθυποστὰς τῆς γαστρὸς τὴν διάῤῥηξιν. Ὅθεν Κύριλλε, ὡς Μάρτυς Χριστὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀθροίσθητε λαμπρῶς, φιλομάρτυρες πάντες, καὶ ὕμνοις ἱεροῖς, εὐφημήσωμεν πόθῳ, Κυρίου τὸν Διάκονον, καὶ ἀήττητον Μάρτυρα, τὸν ἀθλήσαντα, τῆς εὐσεβείας τῷ ζήλῳ, καὶ αἰσχύναντα, τὴν ἐπηρμένην κακίαν, ἐχθροῦ τοῦ ἀλάστορος.

Δόξα. Ὅμοιον.

Ἀσάλευτον λαβεῖν, βασιλείαν ποθήσας, ἀντέστης εὐθαρσῶς, βασιλεῖ παρανόμῳ, καὶ χαίρων ἀνεκήρυξας, τοῦ Σωτῆρος τὸ ὄνομα. Ὅθεν Κύριλλε, προσομιλήσας βασάνοις, τὴν ἀνώδυνον, ἐκληρονομήσας λῆξιν, ὡς Μάρτυς στερέμνιος.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης τοῦ Θεοῦ, ἀδιάφθορος Μήτηρ, τεκοῦσα ἐν σαρκί, Ὃν πρὸ πάντων αἰώνων, Πατὴρ ὁ προάναρχος, Λόγον Κόρη ἠρεύξατο· ὅθεν ἅπαντες, γλώττῃ, νοῒ καὶ

καρδίᾳ, Θεοτόκον Σε, ὁμολογοῦμεν κυρίως, τὸ χαῖρε βοῶντές Σοι.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα. Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Ταῖς αὔραις τοῦ Πνεύματος, ὡς εὐπλωΐσας καλῶς, διῆλθες κλυδώνιον, πολυθεΐας δεινόν, μακάριε Κύριλλε· ἔφθασας εἰς λιμένας, αἰωνίου γαλήνης, ἔνθα καταπολαύων, καλλονῆς ἀθεάτου, μνημόνευε ἀπαύστως, ἡμῶν τῶν τιμώντων σε.

Δόξα. Ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Διακονίας διαπρέψας τοῖς ἔργοις, τοῦ μαρτυρίου ἐδοξάσθης τοῖς ἄθλοις, καὶ λαμπρυνθεὶς αἱμάτων σου, τοῖς λύθροις ὑπὲρ νοῦν, ἔνδον εἰσελήλυθας, τῆς ζωῆς τοῦ νυμφῶνος, ἔνθα τῶν ἀγώνων σου, ὑπεδέξω τὰ γέρα, ὑπὲρ ἡμῶν πρεσβεύων τῷ Χριστῷ, Κύριλλε Μάρτυς, Μαρτύρων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς εὐλαβῶς Σε μακαρίσωμεν Μῆτερ, τὴν ὑπερτέραν ἀληθῶς τῶν κτισμάτων, καὶ ἐξειπεῖν τὰ θεῖα μεγαλεῖά Σου; Σὺ γὰρ ἐσωμάτωσας, ὑπὲρ ἔννοιαν πᾶσαν, τὸν Πατρὶ καὶ Πνεύματι ὁμοούσιον Λόγον· Ὃν ἐκτενῶς ἱκέτευε ἡμῖν, ἁμαρτημάτων δοθῆναι τὴν ἄφεσιν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Ἀσεβείας ἄνθρακας, ἐναποσβέσας, ταῖς ῥοαῖς τοῦ αἵματος, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, πηγὴ ἀκένωτος γέγονας, χάριτος θείας, στερέμνιε Κύριλλε.

Δόξα. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Οὐρανίου Κύριλλε, ὡς ἐφιέμενος δόξης, τῶν εἰδώλων ἤλεγξας, τὴν ψυχολέτειραν πλάνην· σπλάγχνων σου, ὑπεραθλήσας δὲ τῇ ἐκχύσει, ᾔσχυνας, τῶν θεομάχων τὰς ἐπινοίας, καὶ ἐδέξω οὐρανόθεν, τῆς ἀφθαρσίας τὸν θεῖον στέφανον.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἀστέρων κάλλεσι, τοὺς οὐρανοὺς καλλωπίσας, οὐρανόν Σε ἔδειξεν, ὦ Θεονύμφευτε ἄλλον· ἥλιος, ἐκ Σοῦ γὰρ Μῆτερ ἐξανατείλας, ηὔγασε τὴν οἰκουμένην θεογνωσίας, φωταυγείᾳ τῇ ἀδύτῳ· ὅθεν Σε πάντες νῦν μακαρίζομεν.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν (ζήτει αὐτῷ ἐν τῷ Ὄρθρῳ τῆς ἑορτῆς τοῦ ἁγ. Γεωργίου, τῇ 23η Ἀπριλίου).

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός,...*

Ἀγαπήσας τὸν Χριστόν, Μάρτυς θεόφρον Κύριλλε, τὸ σῶμά σου δι᾽ Αὐτόν, ταῖς βασάνοις παρέδωκας, ἐν αἷς ἀδάμαντος στεῤῥότερος φανείς, ἀνέπτης εἰς δόξαν οὐρανῶν, καὶ παρέστης τῷ Βασιλεῖ τοῦ παντός. Διὸ Διακόνων κράτιστε, Αὐτῷ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καί τοῦ Ἁγίου.

Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς· *Παθῶν ῥῦσαι ἡμᾶς Παρθένε Κόρη. Κυρίλ*(λ)*ου.*

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Παρθενομῆτορ Μαρία Μῆτερ Θεοῦ, ἡ ἐν χρόνῳ τέξασα, τὸν ὑπέρχρονον Θεόν, ἐκτενῶς ἱκέτευε Αὐτόν, ὑπὲρ πάντων τῶν πιστῶς, ὑμνολογούντων Σε.

Ἀπὸ χειλέων βεβήλων καὶ ῥυπαρῶν, ἱκετεύω πρόσδεξαι, τὰς δεήσεις μου Ἁγνή, χορηγοῦσα χάριν μοι πολλήν, καὶ πταισμάτων ἱλασμόν, ταῖς ἱκεσίαις Σου.

Θεὸν τεκοῦσα Παρθένε ἀληθινόν, καὶ Παρθένος μείνασα, μετὰ τόκον ἀληθῶς, ἀγαθὰ νῦν λάλησον Αὐτῷ, ἵνα εὕρωμεν ζωήν, τὴν ἀνεκλάλητον.

Ὡς θρόνος ἔμψυχος Μῆτερ τοῦ Λυτρωτοῦ, καὶ παστὰς οὐράνιος, τοῦ Παντάνακτος Θεοῦ, Σαῖς εὐχαῖς ἀπέργασαι ναούς, θείας χάριτος ἡμᾶς, τοὺς ἀνυμνοῦντάς Σε.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Μέλπω σε πόθῳ τὸν θεῖον ἀριστέα. Κυρίλ*(λ)*ου.*

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτὸς.

Μαρτυρικαῖς ἐξαστράπτων μαρμαρυγαῖς, ἀθλοφόρε Κύριλλε, ὡς φαιδρότατος φωστήρ, φωτισμὸν χορήγει μοι ὡς ἄν, ἀνυμνήσω ἐν ᾠδαῖς, τὴν θείαν μνήμην σου.

Εἰδωλικοὺς ἐδαφίσας Μάρτυς βωμούς, ὡς ὑπάρχων ἔμπλεως, τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐν Μαρτύρων αἵματι Αὐτοῦ, ἐμεγάλυνας ἐν γῇ, τὸ θεῖον ὄνομα.

Λελυτρωμένος τῷ πάθει τοῦ Λυτρωτοῦ, καρτεροῖς σου πάθεσιν, ἐκοινώνησας Αὐτοῦ, τῆς εὐκλείας Κύριλλε σοφέ, τῶν Μαρτύρων τοῖς χοροῖς, συναγαλλόμενος.

Θεοτοκίον.

Πᾶσα πνοή τε καὶ κτίσις Μῆτερ Ἁγνή, τὴν φρικτὴν λοχείαν Σου, εὐσεβάστως προσκυνεῖ, δι᾽ ἧς φῶς ἀνέτειλεν ἡμῖν, ἐπιγνώσεως Θεοῦ, Θεομακάριστε.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ γ΄. Ὁ Εἱρμός. Οὐκ ἔστιν Ἅγιος ὡς Σύ.

Νεκρὸν εἰργάσατο Ἁγνὴ, ὄφις με ὁ πανώλης, τῶν παθῶν πικρᾷ γεύσει· ἀλλὰ Σὺ ὡς ἀγαθή, θεράπευσόν με ταῖς Σαῖς, ζωηφόροις, πρὸς Θεὸν ἐντεύξεσι.

Ῥοαῖς χαρίτων Σου σεπτῶν, ἄρδευσον τὴν ψυχήν μου, ξηρανθεῖσαν Παρθένε, ἁμαρτίας τῷ αὐχμῷ, καὶ

δός μοι καρπογονεῖν, μετανοίας, τοὺς καρποὺς Μητράναδρε.

Ὑψίστου Ἄχραντε Θεοῦ, σκήνωμα ἀνεδείχθης, ἀπειράνδρως τεκοῦσα, ὑπὲρ ἔννοιαν Αὐτὸν, ᾧ πρέσβευε ἐκτενῶς, οἰκτειρῆσαι, τὸν λαὸν τῆς χάριτος.

Σαρκὶ ἐπέφανε Θεός, Δέσποινα τοῖς ἀνθρώποις, διὰ Σοῦ τῆς Παρθένου, τῆς κατάρας τοῦ Ἀδάμ, λυτρούμενος τοὺς πιστῶς, προσκυνοῦντας, τόκον Σου τὸν ἄφραστον.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ὢ καρτερίας σου σοφέ! ὢ ἀλκίμου ἀνδρείας! τῆς εἰδώλων γὰρ πλάνης, διελέγξας τὸ ψευδές, τοὺς αἰκισμοὺς τῆς σαρκός, ἀνενδότως, Κύριλλε ὑπέμεινας.

Σωτῆρα Κύριλλε Χριστόν, ἐγνωκὼς ὡς ἐχέφρων, οὐ προσένειμας σέβας, τοῖς εἰδώλοις τοῖς γλυπτοῖς, καὶ δι᾽ Αὐτὸν τὸ θανεῖν, ἐξελέξω, Μάρτυς προθυμότατα.

Ἐχθρῶν κατέβαλες στεῤῥῶς, Κύριλλε μυριάδας, τὴν τομὴν τῆς γαστρός σου, ὑποστὰς διὰ Χριστόν· εἶχες γάρΜάρτυς ἐν σοί, ἐνεργοῦσαν, χάριν θεοδώρητον.

Θεοτοκίον.

Παρθένε Ἄχραντε Θεοῦ, ἡ ἀμόλυντος Νύμφη, ἡ ἀφράστως τὸν Λόγον, σωματώσασα Χριστόν, δίδου Σὴν χάριν ἡμῖν, τοῖς ὑμνοῦσι, δόξαν Σου τὴν ἄῤῥητον.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείων ἄθλων σου, τῇ ποικιλίᾳ, καὶ στιγμάτων σου, τῇ εὐμορφίᾳ, ὡραϊσθεὶς ὑπὲρ σάπφειρον Κύριλλε·

Χριστῷ παρέστης Ἁγίων σὺν τάγμασι, τῷ μανικῷ ἐραστῇ τῆς καρδίας σου· Ὅν ἱκέτευε, δωρήσασθαι τοῖς ὑμνοῦσί σε, πταισμάτων ἱλασμόν καὶ θεῖον ἔλεος.

Δόξα. Ὁ αὐτός. Τὴν ὡραιότητα.

Φωτὶ τοῦ Πνεύματος, καταλαμπόμενος, Σταυροῦ τῇ χάριτι, ἐνδυναμούμενος, τῶν μιαιφόνων ἀνδρικῶς, οὐκ ἔπτηξας τὴν μανίαν, καὶ ἀθλήσας ἄριστα, ἱερῶς ἐξεικόνισας, πάθος τὸ ἑκούσιον, τοῦ Σωτῆρος, ὦ Κύριλλε· ᾯ πρέσβευε ἀεὶ ὑπὲρ πάντων, τῶν ἐκτελούντων σου τὴν μνήμην.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε παλάτιον, φωτὸς θεόδμητον· χαῖρε ἀνάκτορον, ζωῆς οὐράνιον· χαῖρε θεόβρυτος πηγή, τῆς χάριτος Θεοτόκε· χαῖρε ἡ ἀντίληψις, τῶν ἐν θλίψεσιν Ἄχραντε· χαῖρε ἡ βοήθεια, τῶν πιστῶν Μητροπάρθενε· Χριστοῦ χαῖρε ἡ ἄμωμος Μήτηρ· χαῖρε ἡ Κεχαριτωμένη.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ δ΄. Ὁ Εἱρμός. Χριστός μου δύναμις.

Ἀγγέλων ἄνασσα, ἀνθρώπων καύχημα, ἀνεδείχθης Παρθένε, ἄνευ σπορᾶς, τὸν Θεὸν κυήσασα, Ὅν ἐξιλέωσαι ἡμῖν, μητρικαῖς Σου παρακλήσεσιν.

Ἰδοὺ τὸ χαῖρέ Σοι, Ἁγνὴ κραυγάζομεν· χαῖρε φῶς ἡ τεκοῦσα, τὸ νοητόν, καὶ ἐξανατείλασα, τῆς σωτηρίας τὴν αὐγήν, τοῖς ἀνθρώποις Μητροπάρθενε.

Ἡ πύλη Δέσποινα, ἡ ἀνατόβλεπτος, ἣν προεῖπε Προφήτης, πύλας ἡμῖν, βασιλείας ἄνοιξον, τοῦ ἐξ αἱμάτων Σου ἁγνῶν, σαρκωθέντος ὑπὲρ ἔννοιαν.

Μητέρα ἄμωμον, Αὐτοῦ Σε ἔδειξεν, ὁ ἐκ Σοῦ νηπιάσας, ἄνευ σπορᾶς, Θεοτόκε Ἄχραντε, Ὅν ἐκδυσώπει μητρικῶς, δωρηθῆναι ἡμῖν ἔλεος.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ὁ πλούτῳ πίστεως, ἐκλάμψας Κύριλλε, καὶ πτωχείαν ἐλέγξας, εἰδωλικήν, πόνοις τῆς ἀθλήσεως, πλούτου ἐδείχθης κοινωνός, ἐν ὑψίστοις τῆς θεώσεως.

Θυσίαν ἔμψυχον, σαυτὸν παρέστησας, δι᾽ ἡμᾶς τῷ τυθέντι, ἐπὶ Σταυροῦ, Κύριλλε μακάριε, καθυπομείνας τῆς γαστρός, τὴν διάῤῥηξιν ὡς ἄσαρκος.

Ὢ τῶν ἀγώνων σου, στεῤῥόφρον Κύριλλε! δι᾽ ὧν πάντων τῶν κάτω, ὑπεραρθείς, σύμμορφος γεγένησαι, Χριστῷ τῷ βλύσαντι ἡμῖν, διὰ πάθους τὴν ἀπάθειαν.

Θεοτοκίον.

Ὢ Μητροπάρθενε, Θεὸν ἡ τέξασα, καὶ πηγάσασα κόσμῳ τὸν γλυκασμόν, τῆς ἀπολυτρώσεως, αἴτει πταισμάτων συμπαθῶς, Σοῖς ἱκέταις τὴν συγχώρησιν.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός. Ὁ τὸ φῶς ἀνατέλλων.

Ἀπὸ πάσης ἀνάγκης Παρθένε ἡμᾶς, λύτρωσαι καὶ κακώσεως, ὡς πλουτοῦσα ἀμέτρητον, τὸ ἔλεος.

Σὲ τὴν μόνην Παρθένον θερμῶς δυσωπῶ· πρόφθασον ὡς φιλεύσπλαγχνος, ἰωμένη καρδίας μου, τὴν κάκωσιν.

Παναγία Παρθένε ἡμῖν ἀῤῥαγές, τεῖχος γενοῦ δεόμεθα, τῶν δαιμόνων ἀπείργουσα, τὰς φάλαγγας.

Ἀπειρόγαμε Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἔσο ἡμῖν ἀντίληψις, καὶ προστάτις ἀκοίμητος, ἐν θλίψεσι.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Στηλιτεύσας εἰδώλων τὴν πλάνην σοφέ, ἄθλοις τοῦ μαρτυρίου σου, τὴν εὐσέβειαν Κύριλλε, ἐκράτυνας.

Θαρσαλέως ἀθλήσας τῷ πόθῳ Χριστοῦ, ᾔσχυνας τὸν ἀρχέκακον· ὅθεν στέφανον εἴληφας, ἀμάραντον.

Ἐταπείνωσας Μάρτυς ἀθλήσας καλῶς, θράσος τὸ ἐπαιρόμενον, Ἀποστάτου τοῦ ἄφρονος, ὦ Κύριλλε.

Θεοτοκίον.

Ἱερῶς Σε ὑμνοῦμεν Παρθένε Ἁγνή, χαῖρε ἀναβοῶντές Σοι, ἡ βροτοῖς τὸν Παράδεισον, ἀνοίξασα.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ στ΄. Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Ῥημάτων ἀνάδειξον, θεϊκῶν με πληρωτήν, τῆς μητρικῆς Σου χάριτος, τῇ δυνάμει Θεόνυμφε Μαριάμ, τῆς ἄνω λαμπρότητος, διὰ Σοῦ ἵνα τύχω ὁ πανάθλιος.

Θεὸς ἐνηνθρώπησε, διὰ Σοῦ τῆς Ἀγαθῆς, καὶ προστασίαν ἄμαχον, ἔδειξέ Σε τῶν πίστει εἰλικρινεῖ, Παρθένε βοώντων Σοι· χαῖρε Κόρη, ἁγνείας τὸ ὀσφράδιον.

Ἐκ Σοῦ ἐπεδήμησε, τοῖς ἐν κόσμῳ ὁ Θεός, ἁγιασμὸς καὶ λύτρωσις, Θεοτόκε Παρθένε ὡς ἀγαθός· Αὐτὸν οὖν ἱκέτευε, τοὺς ὑμνοῦντάς Σε ῥῦσαι τῆς κολάσεως.

Ναμάτων Δέσποινα, κρήνη οὖσα ζωτικῶν, ὕδωρ ζωῆς ἀνάβλυσον, τοῖς ἀθλίοις οἰκέταις Σου συμπαθῶς, αὐτοὺς πρὸς ἐνάρετον, βιοτὴν χάριτί Σου διεγείρουσα.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Οὐράνιον φρόνημα, κεκτημένος τῷ Χριστῷ, ὥσπερ θυσίαν ἔμψυχον, προσενήνοχας Κύριλλε σεαυτόν· διὸ ἀναδέδειξαι, κληρονόμος τῆς ἄνω καταπαύσεως.

Νοήσας τὸ πρόσκαιρον, τῆς ἐν κόσμῳ βιοτῆς, μαρτυρικῇ ἐνστάσει σου, πρὸς θαλάμους κατέσπευσας τῆς ζωῆς, ἐν οἷς αὐλιζόμενος, ὑπερεύχου παμμάκαρ τῶν τιμώντων σε.

Αἱμάτων σου ῥεύμασιν, ἀθεΐας ποταμούς, τοὺς θολερούς ἐξήρανας, καὶ ἀνέβλυσας Κύριλλε μυστικῶς, τὸ ὕδωρ τῆς χάριτος, τοῦ Χριστοῦ τῆς ἐνδόξου Ἀναστάσεως.

Θεοτοκίον.

Ῥημάτων δεήσεων, Μῆτερ ἄκουσον ἡμῶν, καὶ τὰς αἰτήσεις πλήρωσον, τῶν βοώντων Σοι πάντοτε ἐν χαρᾷ· Ἁγνὴ χαῖρε Δέσποινα, ἡ Θεὸν τοῖς ἀνθρώποις σωματώσασα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ὡς Διακόνων θαυμαστόν σε ἐγκαλλώπισμα, καὶ Ἀθλοφόρων ἐν ᾿Εδὲμ θεῖον συμμέτοχον, μακαρίζομεν ἐν ᾄσμασι γηθοσύνως· ἀλλ᾿ ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐν κινδύνοις κραταιὸς προστάτης φάνηθι, τοῖς βοῶσί σοι· Χαίροις, Κύριλλε ἔνδοξε.

Ὁ Οἶκος.

Ἄγει νῦν ἐτησίως, τὴν ἁγίαν σου μνήμην, ἐν ὕμνοις ἡ Χριστοῦ Ἐκκλησία, κεκοσμημένη πανευπρεπῶς, τοῦ μαρτυρίου σου τοῖς ἄθλοις Κύριλλε, καὶ μέλπουσα τὴν δόξαν σου, ἀνακραυγάζει σοι τοιαῦτα

Χαῖρε, δι᾿ οὗ ἡ Τριὰς ὑμνήθη·
χαῖρε, δι᾿ οὗ ὁ Σατὰν ἡττήθη.
Χαῖρε, εὐανδρίας μεγίστης εἰκόνισμα·
χαῖρε, καρτερίας ἀῤῥήκτου ἐκτύπωμα.
Χαῖρε, δένδρον τὸ πολύκαρπον μαρτυρίου τῶν καρπῶν·
χαῖρε, ἄνθος τὸ πανεύοσμον τοῦ Χριστοῦ τῶν δωρεῶν.
Χαῖρε, ὅτι ὑπῆλθες Ἀθλοφόρων τὸ σκᾶμμα·
χαῖρε, ὅτι καθεῖλες τῶν εἰδώλων τὸ σέβας.
Χαῖρε, Χριστοῦ Διάκονος ἄμωμος·
χαῖρε, Θεοῦ θεράπων πιστότατος.
Χαῖρε, λαμπὰς εὐσεβείας ἁγία·
χαῖρε, ἡμῶν ἀληθὴς προστασία.
Χαίροις, Κύριλλε ἔνδοξε.

Συναξάριον.

Τῇ 29η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Κυρίλλου τοῦ Διακόνου, τοῦ ἐν Φοινίκῃ ἀθλήσαντος ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ Παραβάτου.

Στίχοι·

*Γαστὴρ Κυρίλλου Λευΐτου διὰ ξίφους,*

*Ὡσεὶ πάχος γῆς, εἶπε Δαυΐδ, ἐῤῥάγη.*

Ἕτεροι.

*Κύριλλος θνήσκει ἐκτμηθεὶς τὴν γαστέρα,*

*Πρῶτον λεπτύνας εἰς χοῦν εἰδώλων πλάνην.*

*Εἰκάδι ἠδ᾽ ἐνάτῃ Κύριλλος εἰς πόλον ἔβη.*

Αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός. Τῷ κήτει καταποθείς.

Ἐλέησον συμπαθῶς, ἡμᾶς ἁμαρτίας, κειμένους ἐν βυθῷ· εἰς Σὲ γάρ Κόρη, τὴν ἐλπίδα πᾶσαν ἔχομεν.

Κατεύθυνον πρὸς ὁδόν, ἡμᾶς σωτηρίας, Παρθένε Ἀγαθή, χειραγωγίᾳ, μητρικῆς κηδεμονίας Σου.

Ὁ Κτίστης σάρκα λαβών, ἐκ Σοῦ τῆς Πανάγνου, ἐθέωσε βροτούς, τοὺς προσκυνοῦντας, τὸν φρικτόν Σου τόκον, Ἄχραντε.

Ῥανίσι Σῶν οἰκτιρμῶν, ἀπόπλυνον Μῆτερ, ψυχήν μου δυσωπῶ, καὶ σωτηρίου, πρὸς πηγάς με καθοδήγησον.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ἰάσεις ἐπιτελεῖς, τοῖς ἐν εὐλαβείᾳ, προστρέχουσι σοφέ, τῇ χάριτί σου, Ἀθλοφόρε Μάρτυς Κύριλλε.

Σωτῆρα καὶ Λυτρωτήν, Κύριλλε κηρύξας, τοῦ κόσμου τὸν Χριστόν, διὰ θανάτου, κληρονόμος Αὐτοῦ γέγονας.

Τυράννων τὰς ἀπειλάς, Κύριλλε πατήσας, ἀνδρείᾳ ψυχικῇ, τοῦ μαρτυρίου, εὐδοξίᾳ κεχαρίτωσαι.

Θεοτοκίον.

Ἐλέησον Μαριάμ, τοὺς προστρέχοντάς Σοι, ἐν πίστει ἀκλινεῖ, καὶ ὡς Μητέρα, τοῦ Θεοῦ Σε μακαρίζοντας.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ η΄. Ὁ Εἱρμὸς. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἡλιόμορφε Κόρη, Μῆτερ Θεόνυμφε, ἡ παστὰς τῆς τοῦ Λόγου, θείας σαρκώσεως, ῥῦσαι συμπαθῶς, νοσημάτων τοὺς δούλους Σου, τοὺς ὑπερυψοῦντας, τὸν ἄφραστόν Σου τόκον.

Καθαρὸν ἐνδιαίτημα, ἀναδέδειξαι, τοῦ Θεοῦ τῆς ἀῤῥήτου, ἐνανθρωπήσεως· ὅθεν δυσωπῶ, τῶν πταισμάτων τοῦ σπίλου με, κάθαρον Παρθένε, ὑσσώπῳ τῶν εὐχῶν Σου.

Ὑπεράφθονον κρήνην, ἰαματόβρυτον, ὁ Δεσπότης τῶν ὅλων, Σὲ ἀπειργάσατο, νάματα ἀεί, οἰκτιρμῶν ἀναβλύζουσα,Ἄχραντε Μαρία, τοῖς ἐπιδεομένοις.

Ῥάβδος ὤφθης ἁγία, Χριστὸν τὸν Κύριον, γεωργήσασα Κόρη, ἄνθος ὡς εὔοσμον, καὶ

προγονικῆς, ἁμαρτίας ἀνέσπασας, τὸ φυτὸν Παρθένε, πρὸς κόσμου σωτηρίαν.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ἀκορέστῳ ποθήσας, ζήλῳ τόν Κύριον, τῆς σαρκὸς οὐκ ἐφείσω, Κύριλλε ἔνδοξε, ἧς μαρτυρικῶς, ἀναλύσας μετέλαβες, τῆς ζωῆς τοῦ ἄρτου, σὺν πᾶσι τοῖς Ἁγίοις.

Καθελὼν τῶν εἰδώλων, σέβας τὸ ἄθεον, ὡς Σταυροῦ τῷ τροπαίῳ, ἐνισχυόμενος, Κύριλλε σοφέ, Διακόνων ἀγλάϊσμα, κῦρος ἀπειργάσω, Χριστοῦ τῇ ᾿Εκκλησίᾳ.

Ὑπερτίμοις σου ἄθλοις, Κύριλλε ἔνδοξε, καταργήσας βεβήλου, πλάνης ἰνδάλματα, δόξῃ καὶ τιμῇ, ἀληθῶς ἐστεφάνωσαι, καὶ ἔνδον εἰσῆλθες, τρυφῆς τῆς ἀκηράτου.

Θεοτοκίον.

Ῥυπωθέντά με σπίλῳ, τῶν ἁμαρτάδων μου, δι᾽ ἀμέλειαν ἄκραν, καὶ γνώμην ἄφρονα, χάριτος τῆς Σῆς, ὕδατί με ἀπόπλυνον, ἵνα Σε γεραίρω, τὴν Κεχαριτωμένην.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ θ΄. Ὁ Εἱρμός. Θεὸν ἀνθρώποις.

Ἱερωτάταις, φωναῖς ὑμνοῦμέν Σε, τὴν ἀνωτέραν πάσης, Θεομῆτορ τῆς κτίσεως· διὸ Κόρη Πάναγνε, μὴ παύσῃ ἀεί, πρεσβεύουσα Κυρίῳ, ὡς ἂν ῥυσθείημεν, πάσης τοῦ βελίαρ προσβολῆς, τῇ προστασίᾳ Σου.

Λυχνία πέλεις, χρυσοειδέστατος, φῶς τὸν Χριστὸν τεκοῦσα, ἀπειράνδρως Πανάχραντε· διὸ ταῖς λαμπρότησι, τῶν Σῶν δωρεῶν, φώτισον τὴν ψυχήν μου, καὶ δὸς ἐργάζεσθαι, ἀεί με τὰ ἔργα τοῦ φωτός, τῇ ἀντιλήψει Σου.

Ὁ πάντων Κτίστης, ἐκ Σοῦ ἐπέφανε, καὶ πλατυτέρα Κόρη, οὐρανῶν Σε ἀνέδειξε· διὸ ἱκετεύω Σε, θερμῶς Ἀγαθή, οὐράνωσον τὸν νοῦν μου, ἐξαφανίζουσα, αὐτοῦ τοὺς γηΐνους λογισμούς, τῇ προμηθείᾳ Σου.

Ὑπάρχων πάντων, παθῶν ἀνάπλεως, ταύτην τὴν ὑμνῳδίαν, Θεομῆτορ ἐτόλμησα· Σὺ δὲ ὡς φιλότεκνος, συγγνώμης τῆς Σῆς, δέομαι μὴ στερήσῃς, ἀλλὰ τὰς φρένας μου, Μῆτερ τῶν ἐνύλων τῆς σχολῆς, Σὺ ἀποκάθαρον.

Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ἰσχύσας θείᾳ, δυνάμει χάριτος, φάλαγγας τῶν δαιμόνων, μαρτυρίῳ τροπώσασθαι, ἐδέξω διάδημα, ζωῆς τὸ φαιδρόν, Κύριλλε θεομάκαρ, καὶ συνδεδόξασαι, δήμοις τῶν Μαρτύρων ἐν ᾿Εδέμ, ὡς Μάρτυς ἄριστος.

Λαμπὰς ἐδείχθης, φλογὶ τοῦ Πνεύματος, τῆς εὐσεβοῦς λατρείας, ἐναθλήσας ὡς ἄσαρκος, καὶ ἔσβεσας τέλεον, τῆς εἰδωλικῆς, πλάνης τὴν θρυαλλίδα· διό σε ἠξίωσε, Κύριλλε θεώσεως φωτός, ὁ Ὑπεράγαθος.

Ὁ ἀθλοθέτης, Χριστὸς τὸ αἷμά σου, Κύριλλε ὡς θυσίαν, λογικὴν προσεδέξατο· διὸ Αὐτῷ πρέσβευε, ἐν

μαρτυρικῇ, κράτιστε παῤῥησίᾳ, χάριν δοθῆναί μοι, τῷ ὑφάναντί σοι εὐλαβῶς, τοὺς ὕμνους Ἅγιε.

Θεοτοκίον.

Ὑμνοῦμεν Μῆτερ, πιστῶς τὴν δόξαν Σου, ἣν Ἀσωμάτων τάξεις, ἀσιγήτως δοξάζουσι· τρανῶς δὲ κηρύττομεν, τὴν Σὴν πρὸς ἡμᾶς, θείαν κηδεμονίαν, δι᾽ ἧς σῳζόμεθα, πάντων τῶν ἐν βίῳ δυσχερῶν, καὶ περιστάσεων.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἰσχὺς ἐχθροῦ ἀφῄρηται, κραταιᾷ σου ἐνστάσει, τοῦ Παραβάτου τέτρωται, τὸ μετέωρον θράσος, καὶ καταβέβληται πλάνης, τῶν εἰδώλων τὸ σέβας, ἐν ἄθλοις μαρτυρίου σου, δι᾽ ὧν Κύριλλε μάκαρ, τοῦ Λυτρωτοῦ, μιμητὴς εὑρέθης ἠγλαϊσμένος, καὶ Μάρτυς ἀπαράτρεπτος, ἐν σεπτοῖς Διακόνοις.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Θυσίας ἐστηλίτευσας, τῆς ἀσεβείας Κύριλλε, καὶ σεαυτὸν τῷ Κυρίῳ, ἔμψυχον, ἄμωμον, ζῶσαν, θυσίαν προσενήνοχας, ἀξίως δι᾽ εὐσέβειαν, θανατωθεὶς ὠμότητι, ἀνδρῶν αἱμάτων ἀνόμων, ὡς καρτερόψυχος Μάρτυς.

Θεοτοκίον.

Ἀφράστως ἐσωμάτωσας, δι᾽ ἔλεος ἀνείκαστον, ἐκ τῶν ἁγνῶν Σου αἱμάτων, Πατρὸς τὸν ἄναρχον Λόγον· ᾧ πρέσβευε δεόμεθα, ὡς εὔσπλαγχνος Θεόνυμφε, τοῦ δωρηθῆναι ἄφεσιν, παραπτωμάτων παντοίων, τοῖς εὐσεβῶς σε τιμῶσι.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Τὶ ὑμᾶς καλέσωμεν.

Τὶς οὐκ εὐφημήσει σε Κύριλλε; ὅτι ζήλῳ πληρωθείς, τῆς ἀληθείας τὴν ψυχήν, κατελέπτυνας εἰδώλων, ἀσεβείας τὰ γλυπτά, καὶ κράτος, εὐσεβείας ἐν τοῖς πέρασι, δι᾽ ἄθλων, μαρτυρίου διετράνωσας, ὡς στρατιώτης πανάλκιμος, τοῦ Βασιλέως τῆς κτίσεως. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σε ὀνομάσωμεν Κύριλλε; ἀσεβείας καθαιρέτην, ὡς κηρύξαντα Χριστόν· ἀριστέα τροπαιοῦχον, ὡς ἀθλήσαντα στεῤῥῶς· φωστῆρα, Ἀθλοφόρων οὐρανόφωτον· λαμπτῆρα, Διακόνων φαεινότατον· πηγὴν χαρίτων τοῦ Πνεύματος, δροσίζουσαν τοὺς τιμῶντάς σε. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πόνοις μαρτυρίου σου Κύριλλε, καταισχύνας τὴν ὀφρύν, τοῦ μισανθρώπου πτερνιστοῦ, ἐξεδήμησας λαμπρῶς, πρὸς ἀτελεύτητον ζωήν, καὶ ἄθλοις, κραταιοῖς ὡραϊζόμενος, παρέστης, ἐν ὑψίστοις τῷ Παντάνακτι, μαρμαρυγαῖς τῆς θεώσεως, ἀξίως καταστραπτόμενος. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πίστει κραταιούμενος Κύριλλε, ὁμολόγησας Χριστόν, ἀνενδοιάστῳ λογισμῷ, καὶ ὑπέμεινας πληγάς, πολλῶν βασάνων καρτερῶς· γαστρός σου, τὴν τομὴν οὐκ ἐδειλίασας, ἐν ταύτῃ, τέμνων πλάνην ψυχολέτειρα· Θεὸν οἰκείοις ἐν μέλεσιν, ἐδόξασας ὑπὲρ ἄνθρωπον. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε φιλέορτοι, καὶ τῶν Μαρτύρων ἐρασταί, τὸν ἐν Διακόνοις Μάρτυρα, Κύριλλον εὐφημήσωμεν. Οὗτος γὰρ ὁ ἀοίδιμος, ὡς ἀληθείας ζήλῳ τιτρωσκόμενος, τῶν εἰδώλων κατέθραυσε τὰ ξόανα, διδάσκων τοὺς περὶ ταῦτα μεμηνότας, ὅτι οὐκ ἐν χειροποιήτοις ναοῖς ὁ Θεὸς κατοικεῖ, οὐδὲ θεραπεύεται ὑπὸ χειρῶν ἀνθρώπων· ἐντεῦθεν τὴν μανίαν αὐτῶν ὑποστάς, καὶ βασάνοις πολλαῖς προσομιλήσας, θανάτῳ βιαίῳ παρεδόθη, μαχαίρᾳ τὴν γαστέρα πληγείς. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· πρέσβευε Ἅγιε ἐκτενῶς, δωρηθῆναι τοῖς τιμῶσί σε, πταισμάτων ἱλασμὸν καὶ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ ᾿Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ 23η Ἀπριλίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις Διακόνων κλέος λαμπρόν, καὶ τῶν Ἀθλοφόρων, ἐγκαλλώπισμα ἱερόν· χαίροις τῶν εἰδώλων, λατρείας καθαιρέτης, δι᾽ ἄθλων μαρτυρίου, Κύριλλε ἔνδοξε.

Στίχοι.

*Κυρίλλῳ τῷ Μάρτυρι ἐν Διακόνοις,*
*Κύριλλος ἀνέπλεξε τὴν ὑμνῳδίαν,*
*Θεῖον ἐξαιτούμενος αὐτὸν προστάτην,*
*᾽Εν ταῖς δυσχερέσεσι βίου κινδύνοις.*

